# SCHOLIA VETERA IN PINDARI CARMINA

RECENSVIT

A. B. DRACHMANN

## VOL. II
## SCHOLIA IN PYTHIONICAS

ADIECTAE SVNT DVAE TABVLAE PHOTOTYPICAE

EDITIO STEREOTYPA
EDITIONIS PRIMAE (MCMX)

STVTGARDIAE ET LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI MCMXCVII

BDEGQ 47 b. *ἄδικον οὔτε:* οὔτε εἰς ἄδικον οὔτε εἰς ὑπερήφανον τὴν ἑαυτοῦ ἥβην δρεπόμενος, ἀντὶ τοῦ οὐ καταχρώμενος τῇ ἑαυτοῦ νεότητι πρὸς ἀλαζονείαν. 49 E

BDEGQ 47 c. *ὑπέροπλον ἥβαν δρέπων, σοφίαν δέ:* δρεπόμενος δὲ τὴν σοφίαν καὶ καταδεδυκὼς εἰς τοὺς ταύτης μυχούς. ἐκ δὲ τούτου ὅτι ἄγαν σοφός ἐστι. ἀπὸ κοινοῦ δὲ τὸ δρέπων. 47b E

BDEGQ 49. *τίν τε, Ἐλέλιχθον:* σοὶ δέ, ὦ Πόσειδον, προσέρχεται καὶ προσοικειοῦται, ὃς εὗρες ἱππείαν εἴσοδον· τουτέστιν ἱππικὰς ἁμίλλας· ὅτι ἵππιος ὁ θεός. ἡ δὲ φρὴν αὐτοῦ κατὰ τὴν πρὸς τοὺς συμπότας ὁμιλίαν γλυκεῖά ἐστιν, ὥστε τὰ κηρία παραλλάσσειν καὶ παραπορεύεσθαι τῇ γλυκύτητι τῶν φρενῶν· ἀντὶ τοῦ νικᾷ τὸ μέλι.

---

## Scholia in Pythionicarum carmen VII.

DEQ *Μεγακλεῖ Ἀθηναίῳ ἵπποις Ὀλύμπια· Ἴσθμια· [Πύθια].*

B Τῆς ζ' ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἑπτά. τὸ α' ἰαμβικὸν τρίμετρον καταληκτικόν. τὸ β' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. τὸ γ' σύνθετον ἐκ διμέτρου βραχυκαταλήκτου ἰαμβικοῦ καὶ πενθημιμεροῦς ἰαμβικοῦ. τὸ δ' προσοδιακόν. τὸ ε' Φερεκράτειον ἀπὸ βραχειῶν ἀρξάμενον. τὸ ϛ' δίμετρον Ἰωνικὸν καταληκτικόν. τὸ ζ' δίμετρον τροχαϊκὸν ὑπερκατάληκτον.

---

1 l.] *ἤτοι* B  2 *ἀντὶ τοῦ*] *τουτέστιν* B  4 l. om. BD ‖ *δρέπων* GQ: *διέπων* E ‖ *σοφίαν δέ* G: *σοφίαν* E om. Q  6 *ἐστι*] + *δηλοῖ* B ‖ *δὲ* om. E  8 l. EGQ: *μάλα ἄδοντι νόῳ ποσειδᾶν προσέρχεται* B *ὑπέροπλον ἥβαν* D  9 *ὃς*] *οὓς* B ‖ *ἱππείας εἰσόδους* B  10 *ὅτι ἵππιος* E: *ἵππιος γὰρ* B *ὅτι ἱππικὸς* DGQ ‖ *ἡ δὲ φρὴν αὐτοῦ*] *τήν τε ἐλέλιχθον* D  12 *παραλλάσσειν καὶ*] *παραβαλλόμενα* B ‖ *πορεύεσθαι* E  13 *ἀντὶ τοῦ*] *τουτέστι* B ‖ *νικᾶν* B ‖ P. VI *τέλος* subscr. E  14 *πύθια* om. E; seclusi 15 ad col. α' „*ἀλκμαινιδῶν* aliâs“ mg. Brub.  16 *ἐπιωνικὸν* dici debuisse monuit Pauw  18 *βραχυκατάληκτον ἰαμβικὸν καὶ πενθημιμερὲς ἰαμβικόν* B; correxi  19 *βραχειῶν* Pauw: *βραχείας*

ἡ ἐπῳδὸς κώλων ἐννέα. τὸ α' τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. τὸ β' τὸ αὐτὸ ὁμοίως. τὸ γ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ δ' τὸ αὐτὸ ὁμοίως. τὸ ε' παιωνικὸν δίμετρον καταληκτικόν. τὸ ϛ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ζ' ὅμοιον τῷ (Archil. fr. 94, 2) τίς σὰς παρήειρε φρένας, τὸ η' χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ θ' ἰαμβικὸν πενθημιμερές. B

Inscr. a. Γέγραπται Μεγακλεῖ Ἀθηναίῳ νικήσαντι τὴν κε' Πυθιάδα τεθρίππῳ. ἔστι δὲ οὗτος οὐχ ὁ τὰ Ὀλύμπια νενικηκώς, ἀλλ' ἕτερος· τὴν δὲ ἐκείνου νίκην τούτῳ προσάπτει ὁ Πίνδαρος συνήθως ἑαυτῷ. τὴν γὰρ μζ' ἐκεῖνος Ὀλυμπιάδα ἀναγράφεται νενικηκώς· ὁ δὲ τὴν πϛ' ἕτερος [δὲ] ἂν εἴη Μεγακλῆς τούτῳ ὁμώνυμος. BDEGQ b. ἄλλως· γέγραπται μὲν ἡ ᾠδὴ Μεγακλεῖ Ἀθηναίῳ ἀναφέροντι τὸ γένος εἰς Ἀλκμαίωνα τὸν γενόμενον ἄγαν πλουσιώτατον. τοῦτον γάρ φασιν ἐληλυθέναι πρὸς Κροῖσον, τὸν δὲ συγχωρῆσαι αὐτῷ διασκευασθῆναι ὡς βούλεται, καὶ σκευὴν ἀναλαβεῖν ὁποίαν προῃρεῖτο, καὶ εἰσελθόντα εἰς τὰ βασίλεια καὶ εἰς τὰ ταμιεῖα ἀναλαβεῖν ὅσον βούλοιτο χρυσόν. ὑποδησάμενος οὖν κοθόρνους, οἵ εἰσιν ὑποδήματα Διονυσιακά, καὶ κόλπωμα ποιήσας ἐνεσώρευσε τῷ κολπώματι χρυσόν· ἔτι δὲ καὶ τοὺς πλοκάμους ἐνέδησεν ὑποβαλὼν αὐτοῖς καὶ τὸ στόμα. διὰ δὲ τὸ βάρος BDEGQ

15 — 202, 4 cfr. Her. 6, 125

4 παιονικὸν B; corr. Beck 8 γέγραπται] + ἡ ᾠδὴ B 9 κε'] πβ' (vix πη') B, ὀγδοηκοστὴν ὀγδόην r. — Cfr. Wilamowitz Aristot. u. Athen II 323, Pomtow Rh. Mus. 51 (1896) p. 586 11 ἑαυτῷ] αὐτῷ B 12 ἀναγέγραπται B ‖ πϛ' EG π[ϛ]' B? ὀγδοηκοστὴν ὀγδόην r κϛ' D μϛ' Q κε' πυθιάδα b ‖ δὲ del. Wilamowitz 13 ἄλλως DG (Q legi nequit): ἄλλως· κάλλιστον αἱ μεγαλοπόλιες E om. B ‖ γέγραπται — 14 ἀθηναίῳ om. B 14 ἀναφέρων B 14. 15 ἀλκμαίονα etc. fere ubique BE 15. 16 φησιν E 18 ταμεῖα Q ($E^{ac}$?) 19 λαβεῖν B rec. ‖ χρυσίον EP 19. 20 κο . . θόρνους E (lac. 2 litt.) 26 ὑπόδημα διονυσιακὸν DGQ 21 τοῖς πλοκάμοις Q 22 ἐνέδησεν (quod in B praeter -σεν legi nequit) corrupt. vid. ‖ ὑποβαλὼν — στόμα om. D (ἐν τοῖς πλοκ. καὶ ἐν τοῖς ποσὶ καὶ ἐν τῷ στ. rec.) ‖ αὐτοῖς $BEQ^{cp}$: αὐτ(οὺς) $G^{cp}$ ‖ τὸ στόμα BEQ: τῷ στόματ(ι) GP

*βίᾳ ἐπορεύετο· διαχυθεὶς οὖν ὁ Κροῖσος ἐπ' αὐτῷ γέλωτι, ἐπί τε τῇ ὄψει καὶ τῷ γλίσχρῳ, καὶ ἕτερον αὐτῷ προσεδωρήσατο. διά τοι τοῦτο ἐπιφανέστατος κατὰ τὴν Ἀττικὴν γεγένηται, ὡς ἄγαν ὢν πλουσιώτατος. γεγόνασι δὲ ἐξ αὐτοῦ οἳ ἐκλήθησαν Ἀλκμαιωνίδαι, οἳ καὶ κατέλυσαν τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα.* **1[b] BEGQ 4[a] D**

**DEGQ** 1 a. *Κάλλιστον αἱ μεγαλοπόλιες· κάλλιστόν ἐστι προοίμιον τῇ εὐρυσθενεῖ γενεᾷ τῶν Ἀλκμαιωνιδῶν αἱ μεγαλοπόλιες Ἀθῆναι, καὶ θεμέλιον τῶν ᾠδῶν τοῖς ἵπποις βαλέσθαι,* **BDEGQ** *καὶ ἀπὸ κοινοῦ· κάλλιστόν ἐστι προοίμιον αἱ Ἀθῆναι· | ἀντὶ τοῦ ἐπὶ τῇ νίκῃ κάλλιστόν ἐστιν ἐν τῷ ὕμνῳ ἐγκωμιάσαι τὸν* **BEGQ** *νικηφόρον ἀπὸ τῶν Ἀθηνῶν.* **8 B inscr.[b] DEGQ** b. *ὁ λόγος· κάλλιστόν ἐστι προοίμιον τῶν Ἀλκμαιωνιδῶν αἱ Ἀθῆναι, ὥστε κρηπῖδα ὑποβαλέσθαι τοῦ ἐπαίνου· τὸν ἀπὸ τῆς πατρίδος κόσμον.* **1[a] B 4[a] EGQ**

**BDEGQ** 3. *εὐρυσθενῆ δὲ εἶπε τὴν γενεὰν αὐτῶν διὰ τὸ τὸν Ἀλκμαίωνα ἀνδρεῖόν τινα καὶ ἐπιφανῆ γενέσθαι· ἀφ' οὗ καὶ οἱ Ἀλκμαιωνίδαι, οἳ τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα κατέλυσαν.* **1[a] DEGQ**

**DEGQ** 4 a. *ἐπεὶ τίνα ἀκηκοέναι ἐπὶ τῇ Ἑλλάδι περιφανέστερον* **BDEGQ** *οἶκον οἰκοῦντα εἴπω;* b. *ἄλλως· ἐπεὶ τίνα πατρίδα τίνα τε οἶκον ἐν τῇ Ἑλλάδι ἐπιφανέστερον τῶν Ἀλκμαιωνιδῶν εἰπεῖν δυνήσομαι; ἰδίως δὲ τὸ ναίων παρείληπται· ὅθεν τινὲς γράφουσι ναίοντα. ἄλλοι γράφουσιν, οἶκόν τ' ἀΐων, ὅ ἐστιν ἀκούων.*

**DEGQ** 6 a. *ναίων ὀνυμάξαι: τινὲς ἀφαιροῦσι τὸ ν̄, γράφοντες*

---

1 *ἐπ' αὐτῷ* **BE**: *ἐπὶ τῷ* **DGQ** 2 *ἕτερα* **B** 3 *τοῦτο*] *οὕτως* **B** 4 *γεγόνασι* — 6 *τυραννίδα* **DEGQ** rec.: *ἀφ' οὗ* (17) — *κατέλυσαν* (h. e. fin. sch. 3) **B** 5. 6 *πεισιστράτων* **E** 7 l. praem. *ὡς* **DGQ** 9 *τῆς ᾠδῆς* **b** 10 *καὶ* om. **E** 11 *καλόν* (sic et **PQ**) *ἐστιν ἐπὶ τῇ νίκῃ* **B** 12 l. nullum **E**: *ἄλλως* **G**(**Q**) *κάλλιστον αἱ μεγαλοπόλιες* **B** ‖ *ὁ λόγος* om. **B** 13 *προοίμιον*] + *τῇ εὐρυσθενεῖ γενεᾷ* **B** 18 *οἳ* (alt.) — *κατέλυσαν* hic om. **B**; cfr. ad 4 20 l. nullum **E**: *ἐπεὶ τίνα* **Q** *ἐπεὶ τίν' οἶκον* **DG** ‖ *ἐπὶ*] *ἐν* **E** 21 *οἰκοῦντα* del. Hartung (?) ‖ *ἄλλως* om. **B** 23 *δὲ* om. **E** 24 *ναίοντι* **B** ‖ *γράφουσιν* **B**: *γὰρ* **E** *δ' οὕτως* **DGQ** 25 *ἀκούων*] + *ἀφαιροῦντες τὸ ν̄* **BP** (cfr. **D** ad 26) 26 *ναίω* **D** ‖ *τινὲς*] + *καὶ* **DG** ‖ *ἀφαιροῦσι* **DGQ** (cfr. **B** ad 25): *ὑφαιροῦσι* **E** ‖ *γράφοντες* — 203, 2 *ὀνομάσω* om. **D** (cfr. **B**)

ἀντὶ τοῦ ναίων αἰων. ἢ τίνα οἶκον ἐπιφανέστερον τούτων
ὀνομάσω. | ἕτεροι δὲ πάλιν τὸ μὲν ῡ αἴρουσι, τὸν δὲ τόνον BDEGQ
οὕτω προφέρονται, αἰῶν'· ἵν' ᾖ συναλοιφὴ ἀντὶ τοῦ αἰῶνι,
οἷον τῷ αἰῶνι ὀνυμάξομαι, τῷ αἰῶνι παρακαταθήσομαι. ὁ δὲ
Δίδυμος ἁπλούστερον ἀκούει· αὐτὸς ἐγὼ ναίων ἐν τῇ Ἑλλάδι,
ἀντὶ τοῦ οἰκῶν, | τίνα ἐπιφανέστερον οἶκον ὀνυμάξομαι; οὐκ BEGQ
ἐξ ἀκοῆς ἀκηκοώς, ἀλλ' αὐτὸς ναίων ἐν τῇ Ἑλλάδι τίνα δυ-
ναίμην ἂν αὐτῆς ἐπιφανεστέραν ὀνομάσαι; b. τὸ δὲ ναίων BDEGQ
ἀντὶ τοῦ ναίοντα, ὡς καὶ Ὅμηρος (*B* 350)·

φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα,

εἶτα ὑποβαίνων· ἀστράπτων ἐπιδέξια, ἀντὶ τοῦ ἀστράπτοντα.

8. πάσαισι γὰρ πολλεσιν: ἐν γὰρ πάσαις ταῖς πόλεσιν BDEGQ
ὁ λόγος καὶ ἡ φήμη ἀναστρέφει περὶ τῶν τοῦ Ἐρεχθέως πο-
λιτῶν, τουτέστι τῶν Ἀθηναίων· οἱονεὶ πᾶσα πόλις θαυμάζει
τὰς Ἀθήνας καὶ τὰς ἀνδραγαθίας τῆς πόλεως. 9b DGQ

9 a. Ἄπολλον, οἳ τεόν τε δόμον: οἵτινες οἱ Ἀλκμαιω- BDEGQ
νίδαι, ὦ Ἄπολλον, ἐν τῇ ἐξοχωτάτῃ Πυθῶνι τὸν σὸν οἶκον
θαυμαστὸν κατεσκεύασαν. 11 DGQ b. Ἄπολλον, οἳ τεόν
τε δόμον: οἱ μέν, ὅτι διὰ τον ὕμνον καὶ τὴν νίκην ἐπιφα-
νέστερον ἐποίησαν τὸν τοῦ Ἀπόλλωνος νεών, οἱ δὲ παρὰ τὴν
ἱστορίαν. λέγεται γὰρ ὅτι τὸν Πυθικὸν νεὼν ἐμπρησθέντα,
ὥς τινές φασιν, ὑπὸ τῶν Πεισιστρατιδῶν οἱ Ἀλκμαιωνίδαι

---

8—10 cfr. sch. *B* 358

---

3 προφέρονται BE: προστιθέασι DQ προτιθέασι G ‖ αἰῶν' E: αἰῶν BG αἰων D om. Q 4 ὀνομάξομαι GQ ὀνομάζομαι D ὀνυμάζομαι E 5 δίδυμος BEP: ἀπολλώνιος DGQ 6 τίνα — 8 ὀνομάσαι vix sana 6 ἐπιφανεστέραν GQ ‖ οἶκον ὀνυμάξομαι B: πάτραν ὀνυμάξομαι E(P) ὀνομάσαιμι πάτραν GQ 6. 7 οὐκ ἐξ BE: δι' GQ 8 ἂν Schroeder: ἀντ' ‖ ὀνομάσαι BE: ὀνομάξαι GQ 9 ἀντὶ τοῦ om. DG ἀντὶ om. Q 10 φημὶ] φησί· μὴ E 11 ὑποβαίνων BE: ὑπὸ δ' DG δ' ὑπὸ δ' Q ‖ ἐπιδέξι' B ‖ ἀστράπτοντα] + φησίν B 12 πολλεσιν r: πολλεσσιν B πόλεσσιν Q πόλεσιν DG om. E 13 ἀναστρέφεται PQ 16 l. B: οἳ τεόν τε δόμον E om. DGQ 17 ὦ ἄπ. ἐν om. Q 18 l. E: ἄπ. οἳ G ἄπολλον DQ om. B 19 οἱ μὲν] φασὶ γὰρ οἱ μὲν B (rec.) 21 νεὼν] ναὸν BD rec. ‖ πρησθέντα B 22 τινές om. B ‖ πεισιστρατῶν B ‖ ὑπὸ τ. πεισ. om. b, non recte ‖ οἱ — 204, 1 πεισιστρατιδῶν om. Q

φυγαδευθέντες ὑπὸ τῶν Πεισιστρατιδῶν ὑπέσχοντο ἀνοικοδομήσειν, καὶ δεξάμενοι χρήματα καὶ συναγαγόντες δύναμιν ἐπέθεντο τοῖς Πεισιστρατίδαις, καὶ νικήσαντες μετ' εὐχαριστηρίων πλειόνων ἀνῳκοδόμησαν τῷ θεῷ τὸ τέμενος, ὡς Φιλόχορος (FHG I p. 395) ἱστορεῖ, εὐξάμενοι πρότερον τῷ θεῷ. 9ᵃ DGQ

BDEGQ 11. ἄγοντι δέ με: ἀντὶ τοῦ ἄγουσι δέ με καὶ προτρέπονται ἐπὶ τὸν ὕμνον, ὦ Μεγάκλεες, αἱ ὑμῶν νῖκαι καὶ τῶν προγόνων, πέντε μὲν ἐν Ἰσθμῷ γενόμεναι, μία δὲ ἐξοχωτάτη ἐν τῇ Ὀλυμπίᾳ· δύο δὲ ἐκ Δελφῶν.

BDEGQ 14. Διὸς Ὀλυμπιάς: οὐ νενίκηκεν οὗτος Ὀλύμπια, ἀλλὰ ἄλλοι ὁμώνυμοι τούτου· ἕνεκα δὲ τοῦ ἀπολαμπρῦναι αὐτὸν καὶ τὴν προγονικὴν τούτῳ ἀνατίθησι νίκην.

BDEGQ 18a. χαίρω τι, τὸ δ' ἄχνυμαι: Ἀρίσταρχος, συμβεβηκέναι αὐτῷ τι σύμπτωμα περὶ τὴν νίκην ταύτην· ὅθεν καί φησι τὸ μὲν χαίρειν, τὸ δὲ ἄχνυσθαι, φθόνου τινὸς παρακειμένου τοῖς καλοῖς ἔργοις· οὕτω μέντοι γε γίνεσθαι παραμονίμους τὰς εὐτυχίας, ἐπὰν ἔχωσί τι κρᾶμα καὶ δυστυχήματος. ἔοικε δὲ τὸ περὶ τὴν Ἱπποκράτους τελευτὴν περὶ τοῦτον τὸν καιρὸν ἀπηντηκέναι, εἰς ὃν καὶ θρῆνον γράφει ὁ Πίνδαρος·
DGQ ἦν δὲ ὁ Ἱπποκράτης συγγενὴς τοῦ νικηφόρου. b. ἄλλως· ἐπὶ τῇ νῦν εὐτυχηθείσῃ νίκῃ χαίρω, ἄχνυμαι δὲ διὰ τὸν Ἱπποκράτην.

DEGQ 23. τὰ καὶ τά: ἀντὶ τοῦ ἀγαθὰ καὶ κακά. βεβαίαν δέ

---

1 φυγόντες E ‖ ὑπὸ τῶν πεισιστρ. EG: ὑπ' αὐτῶν B ὑπὸ τούτων D ‖ ὑπόσχοντο DQ 1. 2 ἀνοικοδομῆσαι B (rec.) 3 μετ' εὐχαριστηρίων BQ: μετὰ χαριστηρίων DEG (rec.) 4 ὡς om B 5 εὐξάμενοι — θεῷ om. B ‖ ἀξόμενοι Q 6 l.] + πέντε μὲν ἰσθμοῖ νῖκαι B ‖ ἀντὶ τοῦ om. B 6. 7 προτρέπουσιν B 8 ἐν om. DG ‖ ἰσθμοῖ B 9 τῇ om. B 10 l. om. B ‖ οὐ] ἔνιοι δέ φασιν ὅτι οὐ B ‖ οὐκ ἐνίκησεν DG 11 ἀλλ(ὰ) ἄλλοι DGQ: ἀλλ' οἱ BE ‖ τούτου, DE ($B^{op}G^{op}$): τούτῳ Q 12 αὐτὸν om. Q ‖ νίκην τούτῳ ἀνατίθησι(ν) DGQ 13 l. E: χαίρω, τὸ δ' ἄχν. DGQ νέᾳ δ' εὐπραγίᾳ χαίρω τι B ‖ ἀρίσταρχός ⟨φησι⟩ Horn p. 51 15 τὸ μὲν] ἔν τινι B 16 καλῶν E 17 εὐδαιμονίας B ‖ κρᾶμα BE: κόμμα DQ κάμμα G 18 τὴν ἱππ. τελευτὴν EP: τὴν τοῦ ἱ. τ. B τὴν τελ. ἱ. Q τελ. ἱ. DG 19 ὃν] ἣν B 20 ἦν — συγγενὴς] ὡς συγγενὴν (?) D 21 χαίρω ἐπὶ τῇ νῦν εὐτ. νίκῃ DG 23 l.] om. D + φέρεσθαι G

φησι τὴν εὐδαιμονίαν εἶναι, ὅταν τῇ πολλῇ εὐπραγίᾳ παρέπηταί τι φαῦλον. τοιοῦτόν ἐστι τὸ παρ' Ὁμήρῳ (θ 63)·

τὸν πέρι Μοῦσ' ἐφίλησε, δίδου δ' ἀγαθόν τε κακόν τε·
| ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν. DQQ

---

## Scholia in Pythionicarum carmen VIII.

Ἀριστομένει Αἰγινήτῃ παλαιστῇ νικήσαντι Πύθια. 1b DQ DEG(Q

Τῆς ὀγδόης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐννέα. τὸ α' ὅμοιον τῷ (Arch. fr. 94, 2) τίς σὰς παρήειρε φρένας. τὸ β' τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. τὸ γ' Ἰωνικὸν δίμετρον βραχυκατάληκτον. τὸ δ' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. ⟨τὸ ε' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον.⟩ τὸ ς' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ζ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ η' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ θ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. B

ἡ ἐπῳδὸς κώλων ἕνδεκα. τὸ α' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ β' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ γ' ἰαμβικὸν πενθημιμερές. τὸ δ' περιοδικόν· ἢ λέγεται διπλοῦς τροχαῖος, ὑπερκατάληκτον. τὸ ε' Ἰωνικὸν δίμετρον ἀπὸ μείζονος βραχυκατάληκτον. τὸ ς' τὸ αὐτὸ ὁμοίως. τὸ B

---

2 sch. θ 63. Eust. ibid., p. 1685, 39.

---

1. 2 πρέπηται E[1] 2 ἐστι] + καὶ Q rec. 4 ὀφθαλμῶν G: -μῶ D -μὸν Q 5 pro inscr. sp. vac. Q ‖ πύθια E: λε' πυθιάδα G (? ε' an η' inc.) H λε' (?) ὀλυμπιάδα D 6. 7 ἐννέα B[8] (manu recentissima): ὀκτώ B[1] 9 ἰωνικὸν Pauw: ἰαμβικὸν B ‖ δίμετρον B: τρίμετρον Pauw ‖ col. δ' et ς' (quod in B est ε') permut. Pauw 10 ὑπερκ. B: βραχυκ. b ‖ col. quintum addidi, *quatuor numeros seq. uno maiores feci* 11 ἰαμβικὸν] χοριαμβικὸν b ‖ βραχυκ.] ὑπερκ. b 12 ὑπερκ.] βραχυκ. Pauw 13 τρίμ. βραχ.] δίμ. ὑπερκ. Pauw 14 τὸ θ' περιοδικόν add. r 15 ἕνδεκα B[8]: δέκα B[1] 16 βραχυκατάληκτον] καταληκτικόν Pauw 18 τροχαῖος, ⟨δίμετρον⟩ ὑπερκατάληκτον Pauw (non male)